Καί σ', ὅτε μαρμαίρεσκες ὑπέρτατον εὖχος ἀέξων
βουλῆς, εἷλε μόρος· γῆς δ'ἀλάωσε φάνους.

ΑΛΛΟ

Ὄρφειον τὸ πάροιθε κάρη προσεπίλνατο Λέσβου
ἠϊόσιν, Μουσῶν καί σφιν ἐνῆκε μέλος,
ἔνθεν ἐπὶ κροκάλῃ περιμήκεϊ λᾶας ἀείδει
Οἰαγρηϊάδου μόρσιμον αἰμυλίην·
σὸν γεραρὸν δὲ κάρηνον, ἄνερ κυδίστατε, τύμβῳ
χρίμψαν, ἔπνευσε μένος κεδνὸν ἀοιδοσύνης.
Οὐκ ἄρα μουσοπόλων θνητὸν ἐύθροον ἔθνος
εὖχος σὸν λᾶαν κωφὸν, ἔθηκε λάλον.

ΑΛΛΟ

Κλαύδιος αἰολόμητις ἐπήρκεσεν ἦμαρ ὀλέθρου
ἀνδράσι νηρίθμοις ᾗσι δικασπολίης·
τῷ κεν ἀτεμβομένη νεκύων ἴος ἔννεπεν αἶσα·
πότμον ἀναπλήσεις ἀντὶ τόσων μερόπων.

ΑΛΛΟ

Κλαύδιε, σῷ μορόεντι πολύστονα δάκρυα τύμβῳ
αἴλινον ᾠϊόμην δῶρον ἐπιπρόεμεν·
ἀλλὰ τεὸν, πολύαινε, μεγήρατον ἔργαθε κῦδος,
κῦδος γηθοσύνην πνεῦσαν ἀκηχεμένοις·
ἐν δοιῇ κραδίῃ θυμαλγέα δάκρυα λείβων,
ἢ γελόων, τίσω φωτὸς ἐπιφροσύνην;
Δάκρυα, τέκνα γόου γήθους τε μελίφρονος ἠὲ,
δέξο τάπερ ποθέεις, ἀμφοτέρωσε κλέος.

---

39

Βιϐλίον ὀνομαζόμενον Νέος Θησαυρός. Con privilegio. Νεοστὶ τυπωθὲν εἰς κοινὴν ὠφέλειαν. Παρὰ Ἰωάννη τῷ καιρούτω· ἀναλώμασι